www.tezaurliturgic.ro

Ι. ΜΗΤΡΟΠΟΛΙΣ ΕΔΕΣΣΗΣ, ΠΕΛΛΗΣ ΚΑΙ ΑΛΜΩΠΙΑΣ

ΕΘΝΙΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΤΗΣ ΕΛΛΑΔΟΣ

# ΑΚΟΛΟΥΘΙΑ

ΤΟΥ ΕΝ ΑΓΙΟΙΣ ΠΑΤΡΟΣ ΗΜΩΝ

# ΕΠΙΦΑΝΙΟΥ

## ΑΡΧΙΕΠΙΣΚΟΠΟΥ ΚΥΠΡΟΥ

ΕΠΟΙΗΘΗ ΕΝ ΕΔΕΣΣΗι

ΥΠΟ

ΠΑΝΑΓΙΩΤΟΥ ΦΡΑΓΚΑΚΟΥ

Θεολόγου

ΑΘΗΝΑΙ 1975

ΙΕΡΑ ΣΥΝΟΔΟΣ ΤΗΣ ΕΚΚΛΗΣΙΑΣ ΤΗΣ ΕΛΛΑΔΟΣ

www.tezaurliturgic.ro

Ἀριθ. Πρωτ. 4944
» Διεκπ. 1856

Ἀθήνησι τῇ 14. 10. 1974

Πρὸς
τὸν Σεβασμιώτατον Μητροπολίτην
Ἐδέσσης, Πέλλης καὶ Ἀλμωπίας κ. Καλλίνικον
Εἰς Ἔδεσσαν.

Σεβασμιώτατε ἐν Χριστῷ ἀδελφέ,

Ἔχοντες ὑπ᾿ ὄψιν τὴν ὑποβληθεῖσαν ἡμῖν διὰ τοῦ ὑπ᾿ ἀριθμ. 228/4.2.74 ὑμετέρου ἐγγράφου Ἱερὰν Ἀκολουθίαν τοῦ Ἁγίου Ἐπιφανίου Ἐπισκόπου Σαλαμῖνος, ποιηθεῖσαν ὑπὸ τοῦ Θεολόγου κ. Παναγ. Φραγκάκου, ὡς καὶ τὴν σχετικὴν εἰσήγησιν τοῦ Σεβ. Μητροπολίτου Κοζάνης κ. Διονυσίου, ὡς Προέδρου τῆς Μ.Σ.Ε.Θ. Λατρείας, Συνοδικῇ ἀποφάσει ἐγκρίνομεν ταύτην ὡς καλῶς ἔχουσαν καθ᾿ ὅσον οὐδὲν τὸ ἀπᾷδον πρός τε τὰ δόγματα καὶ τὰς παραδόσεις τῆς καθ᾿ ἡμᾶς Ἁγιωτάτης Ὀρθοδόξου Ἐκκλησίας περιέχεται ἐν αὐτῇ καὶ παρακαλοῦμεν ὅπως κατὰ τὴν τάξιν ὑποβάλητε ἡμῖν πέντε ἀντίτυπα τῆς ἐκδοθησομένης ἀνωτέρω Ἱερᾶς Ἀκολουθίας διὰ τὸ ἀρχεῖον τῆς Μ.Σ.Ε.Θ. Λατρείας.

Ἐπὶ τούτοις κατασπαζόμενοι τὴν Ὑμετέραν Σεβασμιότητα ἐν Κυρίῳ, διατελοῦμεν μετ᾿ ἀγάπης.

+ Ο ΑΘΗΝΩΝ ΣΕΡΑΦΕΙΜ, Πρόεδρος

Ὁ Ἀρχιγραμματεὺς
+ Ὁ Δέρβης Κοσμᾶς

Κοινοποίησις:
Μ.Σ.Ε.Θ. Λατρείας, ΕΝΤΑΥΘΑ

www.tezaurliturgic.ro

## ΠΡΟΛΟΓΟΣ

Ἐπιθυμῶν, ὅπως τιμῶνται παρὰ τοῦ εὐσεβοῦς Λαοῦ, οὐχὶ μόνον ὡρισμένοι Ἅγιοι, ἀλλ' ὅσον τὸ δυνατὸν περισσότεροι, ἐγκαινιάζω Ἱεροὺς Ναοὺς ἐπ' ὀνόματι συνήθως Ἀποστολικῶν καὶ Πατερικῶν Μορφῶν, ὡς καὶ ἀγνώστων τοῖς πολλοῖς Ἁγίων.

Οὕτω τὸν νέον Ἱερὸν Ναὸν τοῦ Ἀκριτικοῦ Χωρίου Κορυφῆς τῆς Ἐπαρχίας Ἀλμωπίας ἀφιέρωσα εἰς τὸν ἐν Ἁγίοις Πατέρα ἡμῶν Ἐ π ι φ ά ν ι ο ν, Ἐπίσκοπον Σαλαμῖνος Κύπρου.

Ἐπειδὴ ἐν τῷ Μηναίῳ δὲν ὑπάρχει πλήρης Ἀκολουθία τοῦ Ἁγίου Πατρὸς παρεκάλεσα τὸν κ. Παναγιώτην Φραγκάκον, Θεολόγον, ἵνα συντάξῃ Ἱερὰν Ἀκολουθίαν, ἣν προθύμως συνέταξεν.

Αὕτη ἐγκριθεῖσα ὑπὸ τῆς Ἱερᾶς Συνόδου τῆς Ἐκκλησίας τῆς Ἑλλάδος ἐκδίδεται τύποις εἰς δόξαν τοῦ ἐν Ἁγίοις δοξαζομένου Τριαδικοῦ Θεοῦ καὶ εἰς τιμὴν καὶ μνήμην τοῦ Ἁγίου Πατρός.

Ἐπὶ τούτοις δέομαι τοῦ Κυρίου, ὅπως διὰ πρεσβειῶν τοῦ ἐν Ἁγίοις Πατρὸς ἡμῶν Ἐπιφανίου, σκέπῃ τὴν παραμεθόριον Ἐνορίαν Κορυφῆς, τὴν μαρτυρικὴν Νῆσον Κύπρον καὶ τὴν Ἐκκλησίαν ἡμῶν ἅπασαν.

Ἐν Ἱερῷ Ἐπισκοπείῳ τῇ 9ῃ Νοεμβρίου 1974

+ Ὁ Ἐδέσσης, Πέλλης καὶ Ἀλμωπίας
ΚΑΛΛΙΝΙΚΟΣ

www.tezaurliturgic.ro

## ΜΑΪΟΥ ΙΒ΄

*Μνήμη τοῦ ἐν ἁγίοις πατρὸς ἡμῶν Ἐπιφανίου Ἐπισκόπου Σαλαμῖνος Κύπρου.*

*Μετὰ τὸν Προοιμιακόν, τὸ Μακάριος ἀνήρ. Εἰς δὲ τὸ Κύριε ἐκέκραξα ἱστῶμεν στίχους ϛ΄, καὶ ψάλλομεν τὰ ἑξῆς Προσόμοια τοῦ Ἁγίου.*

Ἦχος πλ. δ΄. Ὅλην ἀποθέμενοι.

Γνῶσιν τὴν ψευδώνυμον, τὴν χαμερπῆ καὶ γηΐνην, πολεμήσας ἅγιε, ὑποφήτης πέφυκας θείας πίστεως, καὶ τὸ δένδρον ὅσιε, τῶν κακοδοξούντων, ἀνασπάσας πάτερ πρόρριζον, βροτοὺς ἀπήλλαξας, νόθων δοξασμάτων τοῦ δαίμονος, καὶ γέγονας πανεύφημε, στῦλος Ἐκκλησίας ἀκλόνητος, λαὸν τοῦ Κυρίου, θεόφρον ποδηγῶν θεοφιλῶς, διὸ μὴ παύσῃ πρεσβεύειν νῦν, ὑπὲρ τῶν ψυχῶν ἡμῶν.

Βίβλος σὺ πολύπτυχος, τῶν ἀσκητῶν καὶ παρθένων, ὡς οἰκήσας ἔρημον, καὶ ἀνύσας ἅπαντα τὰ παλαίσματα, τῆς σαρκὸς πανόλβιε, καὶ τοῦ ἀντιδίκου, ἀνεδείχθης παναοίδιμε, κανὼν σεμνότητος, θείων μοναστῶν τὸ κειμήλιον, ὁσίων ὁ ὁμόσκηνος, καὶ τοῦ μιαροῦ ἡ καθαίρεσις, καὶ τῆς Σαλαμῖνος, ἀχείμαστος λιμὴν καὶ γαληνός, διὸ μὴ παύσῃ δεόμενος, ὑπὲρ τῶν ψυχῶν ἡμῶν.

Πάτερ Ἐπιφάνιε, τῆς οὐρανίας ἀγάπης, ὁ τροφεὺς ἀοίδιμε, ἐν ποικίλοις θαύμασι σὺ γεγένησαι. Ἀσκητῶν ἡ πρόνοια καὶ τῶν πενομένων, ἀσθενούντων ἡ ἀνόρθωσις, τῶν ξένων σύναξις καὶ τῶν δαιμονώντων ἡ ἴασις, ἁπάντων τῶν ἐν θλίψεσι, μάκαρ τὸ γλυκὺ παραμύθιον, πιστῶν δὲ

www.tezaurliturgic.ro



θεόφρον, κρατὴρ τῆς εὐσπλαγχνίας καὶ ποιμήν, διὸ πρεσβεύειν αἰτούμεθα, ὑπὲρ τῶν ψυχῶν ἡμῶν.

Ζήλῳ πυρπολούμενος, πυριφλεγεῖ ἐν ἐρήμῳ, ἀκροτάτῃ ἔδραμες, πεῖραν σὺ γευσάμενος τοῦ ἀλάστορος, καὶ ψυχῆς ἐκάθηρας γνωστικὸν τρισμάκαρ, πρὸς οὐράνιον ἀρχέτυπον, τὸν νοῦν πανόλβιε, στρέψας ἀτύφως Ἐπιφάνιε, καὶ οἴησιν τοῦ δαίμονος, πάτερ ταπεινώσει ἀπέβαλες, καὶ τὴν φαντασίαν γηΐνων ἐξηφάνισας ταχύ, ἐξ ἧς πρεσβείαις σου ὅσιε, ῥῦσαι τὰς ψυχὰς ἡμῶν.

Ἄγκυρα τῆς πίστεως, ὡς ἀληθῶς ἀνεδείχθη, τῶν σῶν βίβλων σύστημα, καθαιροῦν ἀθέων τὰ πανουργεύματα· δι' οὗ καὶ τὸ ἄδυτον φῶς τῆς ἀληθείας, διεπόρθμευσας τῇ ποίμνῃ σου, τὰ σκότη ἔνδοξε, λύσας πονηροῦ καὶ σκοτόμαιναν, καὶ ὤφθης ἀπροσμάχητος θεῖος Θεολόγος πανόσιε, νῦν Ἀσωμάτοις, ὑπάρχων ἐναρίθμιος σοφέ, μὴ διαλίπῃς πρεσβεύειν σύ, ὑπὲρ τῶν ψυχῶν ἡμῶν.

Ζάλην τὴν ἐγκόσμιον, ἀποβαλὼν καὶ φροντίδα, γηθοσύνως ᾤκησας ἐν ἐρήμῳ ὅσιε Ἐπιφάνιε, καὶ τὸν νοῦν ἐφώτισας, καθαραῖς ἀκτῖσιν, τοῦ ἀπλάστου θεοδόξαστε, φωτὸς δεξάμενος, θείαν δωρεὰν καὶ τὴν ἔλλαμψιν, καὶ ἅπαντας κατηύγασας, ὡς τῶν ἀρετῶν ἄστρον ἄδυτον, διὸ νῦν τρισμάκαρ, ὀξείαις σου πρεσβείαις καὶ ἡμᾶς, ὑπὸ τὴν σκέπην σου φύλαττε, ἀγγέλων συνόμιλε.

Δόξα. Ἦχος πλ. β'.

Τὸ τῆς ἀληθείας φέγγος, ὡς ἀστὴρ ἡμερινός, νόθοις διδασκαλίαις ἀνεπισκότητον, μάκαρ ἐξέχεας, καὶ τὰ διχορώματα τοῦ σκότους, καὶ τὰς φιλὰς τῶν κακοτρόπων αἱρετικῶν ἐπινοίας, διέλυσας θεόφρον, θεουργικοῖς φρονήμασιν. Εἰ δὲ καὶ βραχὺς ἡμῶν ὁ βίος κατὰ τοῦ Δαβὶδ τὸ λόγιον, ἀλλ' ἡ μνήμη τῆς σῆς χρηστότητος, ὡς ἥλιος ἀνίσχει, εἰς τὰ τῆς οἰκουμένης πέρατα· διὸ πάτερ Ἐπιφάνιε ἐκ τῆς

www.tezaurliturgic.ro



***ἀθέου πλάνης, εἰς τὰ τῆς εὐσεβείας δόγματα, πολλοὺς μετέστησας. Καὶ νῦν μετ' ἀγγέλων συναυλιζόμενος μὴ παύσῃ ἐκδυσωπεῖν τῷ Κυρίῳ ὑπὲρ τῶν ψυχῶν ἡμῶν.***

Καὶ νῦν. Τῆς Ἑορτῆς.

***Εἴσοδος, Φῶς ἱλαρόν, τὸ Προκείμενον τῆς ἡμέρας, καὶ τὰ Ἀναγνώσματα.***

Σοφίας Σολομῶντος τὸ Ἀνάγνωσμα.
(Κεφ. γ΄, 1).

Δικαίων ψυχαὶ ἐν χειρὶ Θεοῦ, καὶ οὐ μὴ ἅψηται αὐτῶν βάσανος. Ἔδοξαν ἐν ὀφθαλμοῖς ἀφρόνων τεθνάναι, καὶ ἐλογίσθη κάκωσις ἡ ἔξοδος αὐτῶν, καὶ ἡ ἀφ' ἡμῶν πορεία σύντριμμα· οἱ δέ εἰσιν ἐν εἰρήνῃ. Καὶ γὰρ ἐν ὄψει ἀνθρώπων ἐὰν κολασθῶσιν, ἡ ἐλπὶς αὐτῶν ἀθανασίας πλήρης. Καὶ ὀλίγα παιδευθέντες, μεγάλα εὐεργετηθήσονται· ὅτι ὁ Θεὸς ἐπείρασεν αὐτοὺς καὶ εὗρεν αὐτοὺς ἀξίους ἑαυτοῦ. Ὡς χρυσὸν ἐν χωνευτηρίῳ ἐδοκίμασεν αὐτούς, καὶ ὡς ὁλοκάρπωμα θυσίας προσεδέξατο αὐτούς. Καὶ ἐν καιρῷ ἐπισκοπῆς αὐτῶν ἀναλάμψουσι, καὶ ὡς σπινθῆρες ἐν καλάμῃ διαδραμοῦνται. Κρινοῦσιν ἔθνη καὶ κρατήσουσι λαῶν, καὶ βασιλεύσῃ αὐτῶν Κύριος εἰς τοὺς αἰῶνας. Οἱ πεποιθότες ἐπ' αὐτῷ συνήσουσιν ἀλήθειαν, καὶ οἱ πιστοὶ ἐν ἀγάπῃ προσμενοῦσιν αὐτῷ· ὅτι χάρις καὶ ἔλεος ἐν τοῖς ὁσίοις αὐτοῦ, καὶ ἐπισκοπὴ ἐν τοῖς ἐκλεκτοῖς αὐτοῦ.

Σοφίας Σολομῶντος τὸ Ἀνάγνωσμα.
(Κεφ. ε΄, 15).

Δίκαιοι εἰς τὸν αἰῶνα ζῶσι, καὶ ἐν Κυρίῳ ὁ μισθὸς αὐτῶν, καὶ ἡ φροντὶς αὐτῶν παρὰ Ὑψίστῳ. Διὰ τοῦτο λήψονται τὸ βασίλειον τῆς εὐπρεπείας, καὶ τὸ διάδημα τοῦ κάλλους ἐκ χειρὸς Κυρίου, ὅτι τῇ δεξιᾷ σκεπάσει αὐτούς, καὶ τῷ βραχίονι ὑπερασπιεῖ αὐτῶν. Λήψεται πανοπλίαν τὸν ζῆλον αὐτοῦ, καὶ ὁπλοποιήσει τὴν κτίσιν εἰς ἄμυναν ἐχθρῶν. Ἐνδύσεται θώρακα δι-

www.tezaurliturgic.ro



καιοσύνην, καὶ περιθήσεται κόρυθα, κρίσιν ἀνυπόκριτον. Λήψεται ἀσπίδα ἀκαταμάχητον, ὁσιότητα· ὀξυνεῖ δὲ ἀπότομον ὀργὴν εἰς ῥομφαίαν· συνεκπολεμήσει αὐτῷ ὁ κόσμος ἐπὶ τοὺς παράφρονας. Πορεύσονται εὔστοχοι βολίδες ἀστραπῶν, καὶ ὡς ἀπὸ εὐκύκλου τόξου τῶν νεφῶν ἐπὶ σκοπὸν ἁλοῦνται· καὶ ἐκ πετροβόλου θυμοῦ πλήρεις ῥιφήσονται χάλαζαι. Ἀγανακτήσει κατ' αὐτῶν ὕδωρ θαλάσσης, ποταμοὶ δὲ συγκλύσουσιν ἀποτόμως· ἀντιστήσεται αὐτοῖς πνεῦμα δυνάμεως, καὶ ὡς λαῖλαψ ἐκλικμήσει αὐτούς· καὶ ἐρημώσει πᾶσαν τὴν γῆν ἀνομία, καὶ ἡ κακοπραγία περιτρέψει θρόνους δυναστῶν. Ἀκούσατε οὖν βασιλεῖς καὶ σύνετε, μάθετε δικασταὶ περάτων γῆς· ἐνωτίσασθε οἱ κρατοῦντες πλήθους, καὶ γεγαυρωμένοι ἐπὶ ὄχλοις ἐθνῶν· ὅτι ἐδόθη παρὰ Κυρίου ἡ κράτησις ὑμῖν, καὶ ἡ δυναστεία παρὰ Ὑψίστου.

Σοφίας Σολομῶντος τὸ Ἀνάγνωσμα.
(Κεφ. δ΄, 7).

Δίκαιος ἐὰν φθάσῃ τελευτῆσαι, ἐν ἀναπαύσει ἔσται. Γῆρας γὰρ τίμιον, οὐ τὸ πολυχρόνιον, οὐδὲ ἀριθμῷ ἐτῶν μεμέτρηται. Πολιὰ δέ ἐστι φρόνησις ἀνθρώποις, καὶ ἡλικία γήρως, βίος ἀκηλίδωτος. Εὐάρεστος Θεῷ γενόμενος, ἠγαπήθη· καὶ ζῶν μεταξὺ ἁμαρτωλῶν μετετέθη. Ἡρπάγη, μὴ κακία ἀλλάξῃ σύνεσιν αὐτοῦ, ἢ δόλος ἀπατήσῃ ψυχὴν αὐτοῦ. Βασκανία γὰρ φαυλότητος ἀμαυροῖ τὰ καλά, καὶ ῥεμβασμὸς ἐπιθυμίας μεταλλεύει νοῦν ἄκακον. Τελειωθεὶς ἐν ὀλίγῳ, ἐπλήρωσε χρόνους μακρούς· ἀρεστὴ γὰρ ἦν Κυρίῳ ἡ ψυχὴ αὐτοῦ· διὰ τοῦτο ἔσπευσεν ἐκ μέσου πονηρίας. Οἱ δὲ λαοὶ ἰδόντες καὶ μὴ νοήσαντες, μηδὲ θέντες ἐπὶ διανοίᾳ τὸ τοιοῦτον, ὅτι χάρις καὶ ἔλεος ἐν τοῖς ὁσίοις αὐτοῦ, καὶ ἐπισκοπὴ ἐν τοῖς ἐκλεκτοῖς αὐτοῦ.

Εἰς τὴν Λιτὴν Ἰδιόμελα.
Ἦχος α΄.

***Κανὼν τῆς ἀρετῆς καὶ χωνευτήριον τῆς πίστεως, πάσας κατακαίων τῶν ψευδοδόξων τὰς λογολεσχίας, ἀνεδείχθης πάτερ Ἐπιφάνιε, καὶ τῶν Ὀρθοδόξων χειραγωγὸς γε-***

www.tezaurliturgic.ro



*γονός, τὴν Ἐκκλησίαν ἐν κλύδωνι ἐστήριξας Θεόφρον. Διὸ αἰτούμεθα πάντιμε, δοθῆναι λιταῖς σου, αἱρετικοῖς τὴν ὀρθὴν ὑφήγησιν, καὶ τούτους ἐκ τῆς πλάνης, ἐπαναγαγεῖν εἰς τὸν λιμένα, καὶ χαρισθῆναι αὐτοῖς τε καὶ ἡμῖν τὸ μέγα ἔλεος.*

Ἦχος δ΄.

*Εἰ γὰρ καὶ προαίρεσιν ἀγαθὴν καὶ καλλίστην εἶχες, ἀλλ' ἡ τοῦ Πνεύματος πανσθενουργὸς ἐπίπνοια, ὑπὲρ φύσιν σὲ κατέστησε, πάτερ ὅσιε· καὶ ἐν σώματι ὤν, τὸν ἀσώματον καταπαλαῖσαι ἠδυνήθης πολέμιον, καὶ στεφανηφόρος εἰσῆλθες εἰς τὴν Ἄνω Ἱερουσαλήμ, συγχορεύων τοῖς ἁγίοις, μεθ' ὧν ἱκέτευε Χριστὸν τὸν Θεόν, σωθῆναι τὰς ψυχὰς ἡμῶν.*

Ἦχος γ΄.

*Ἠφανίσθη ποτὲ καὶ καταπεφρόνηται, ὡς ἀραχνίων εὐτελέστερα, τὰ καταγέλαστα καὶ ἀσελγῆ, τοῦ πονηροῦ ὑποψιθυρίσματα· ὑφέρπων γὰρ δολίως ὁ ἀρχέκακος, τῇ τῶν γηΐνων ἡδονῇ ἀπατῆσαί σε, ἐν ἐρήμῳ ἠθέλησε, ἀλλὰ τὸ Πνεῦμα τὸ Ἅγιον τῇ ἁγνοτάτῃ σου ἐνηχῆσαν ψυχῇ, πανοπλίαν σε ἐνέδυσεν ἄτρωτον, καὶ τὴν ἐκείνου συνέτριψας κάραν ἀοίδιμε. Καὶ νῦν συνδιαιτώμενος ὁσίοις πάτερ Ἐπιφάνιε μὴ ἐλλίπῃς πρεσβεύειν ὑπὲρ τῶν ψυχῶν ἡμῶν.*

Δόξα. Ἦχος πλ. α΄.

*Τὰς νομικὰς παραινέσεις σκιὰς καὶ τύπους ἰδών, ταύτας ὑπέζευξας ταῖς διδαχαῖς τοῦ Εὐαγγελίου πανόλβιε. Τῶν γεννητόρων γάρ, καταλιπὼν τὴν διάταξιν καὶ τῶν Ἰουδαίων τὸν ἀνόνητον τύπον, πρὸς τὴν θεόσοφον διδασκαλίαν ἐχώρησας. Ὅθεν τοὺς ὑπερφυεῖς καὶ οὐρανίους θησαυροὺς εὑρηκώς, πιστὸς οἰκονόμος γεγένησαι τῶν μυστηρίων τοῦ Χριστοῦ· ὧν τὰς δωρεὰς ἐξαπόστειλον καὶ ἡμῖν ταῖς πρεσβείαις σου πάτερ Ἐπιφάνιε.*

www.tezaurliturgic.ro



Καὶ νῦν. Τῆς Ἑορτῆς.
Εἰς τὸν Στίχον Στιχηρὰ Προσόμοια.
Ἦχος πλ. α΄. Χαίροις ἀσκητικῶν.

*Χαίροις τοῦ Ἰησοῦ ἡ βροντή, καταπτοοῦσα κακοδόξων συστήματα, πατέρων σὺ ἡ ἀκρότης, Θεολογίας πηγή, τῶν δογμάτων ῥεῖθρα ἀναβλύζουσα, ὁσίων ἰσότιμος, παρρησίας τὸ ἄγαλμα, ἀστραπηβόλε οὐρανὲ τῆς εὐθύτητος, καὶ ἀπλότητος ὁ ἰσάγγελος ἄνθρωπος, μέτοχε τῶν ἀσυλλήπτων τε, ἀρρήτων πανόλβιε, τοῦ Παραδείσου χαρίτων, τῇ σῇ ἀσκήσει γεγένησαι. Διὸ σαῖς πρεσβείαις τὰς ψυχὰς ἡμῶν σωθῆναι Χριστοῦ δεόμεθα.*

Στίχ. Τίμιος ἐναντίον Κυρίου.

*Χαίροις ἡ τῆς Ἐρήμου Ἐδέμ, γεωργηθεῖσα ἐν ἀτρύτῳ πανεύφημε, ἀγῶνι καὶ ἐν ἱδρῶσι, μοναχικῆς βιοτῆς, τοὺς καρποὺς πλουσίως ἐκβλαστήσασα. Τὸ σῶμά σου γέγονεν, Ἐπιφάνιε ὅσιε, Ναὸς Κυρίου, καὶ ταμεῖον τῆς Χάριτος, διὸ ἔλυσας τῶν παθῶν ἐπανάστασιν. Ὅθεν νῦν ἀναβέβηκας εἰς ὕψος θεώσεως, τὴν πρᾶξιν ἔχων τρισμάκαρ εἰς θεωρίας ἐπίβασιν. Πρεσβείαις σου πάτερ, τὸν Δεσπότην ἐκδυσώπει σωθῆναι ἅπαντας.*

Στίχ. Μακάριος ἀνὴρ ὁ φοβούμενος τὸν Κύριον.

*Χαίροις τῶν ἀσκητῶν ἡ λαμπάς, ἱεραρχῶν τε ὁ ἀστὴρ ὁ ἀείφωτος, ὁ σκότη αὐγάσας πάλαι, αἱρετιζόντων λαμπρῶς, καὶ τῆς πλάνης στήσας τὰ φρυάγματα, τοῦ Νόμου ἀοίδιμε καὶ τῆς χάριτος σύζευξις. Ἀρχιερέων τὸ σεμνὸν ἐγκαλλώπισμα, καὶ ὀχύρωμα Ὀρθοδόξων τὸ ἄσειστον. Πάντες νῦν ἑορτάζοντες, κλεινὲ Ἐπιφάνιε, ἐν ἐγκωμίοις σὴν μνήμην, ἀναφωνοῦμέν σοι ὅσιε, μὴ παύσῃ πρεσβεύειν τῷ παρέχοντι τῷ κόσμῳ τὸ μέγα ἔλεος.*

Δόξα. Ἦχος πλ. β΄.

www.tezaurliturgic.ro



***Β**αβαὶ τῆς σῆς ἀπλότητος Θεοφόρε! Μετὰ θηρῶν γάρ, ξένον θαῦμα, συνδιαιτᾶσαι καὶ τρέφεσαι, μετὰ ἀγγέλων συνιερουργεῖς ἀκαταλήπτως, μετ᾽ ἀσκητῶν συνδουλαγωγεῖσαι καὶ μετὰ ἱεραρχῶν, συνομιλεῖς τὰ τῶν δογμάτων. Σὲ γὰρ ὡς τῆς Ἐρήμου τὸ κρίνον τὸ εὔοσμον, τῆς Σαλαμῖνος τὸ ἴον καὶ τῆς Ἐκκλησίας βλαστὸς εὐθαλέστατος, ἀνεφάνης πάτερ Ἐπιφάνιε. Δι᾽ ὃ τὰ χαρίτων μέγα πανένδοξε καὶ τῆς ἀσκήσεως τὴν θείαν πανοπλίαν κατάπεμψον τοῖς πᾶσιν, ὡς παρρησίαν ἔχων πρὸς Κύριον.*

Καὶ νῦν. Τῆς Ἑορτῆς.

Νῦν ἀπολύεις, τὸ τρισάγιον, καὶ τὸ Ἀπολυτίκιον.

Ἦχος α΄. Τῆς ἐρήμου πολίτης.

***Ο**ρθοδόξων τὸ νῖκος, καὶ ἐρήμου θησαύρισμα, καὶ Ἀρχιερέων τὸ κλέος, Σαλαμῖνος τὸν πρόμαχον, τὸν θεῖον Ἐπιφάνιον πιστοί, τιμήσωμεν ἐν ὕμνοις καὶ ᾠδαῖς, πρὸς αὐτὸν ἐν εὐλαβείᾳ χαρμονικῶς, τὸ Χαῖρε ἀνακράζοντες. Χαῖρε τῶν μοναζόντων ὁ ποιμήν, χαῖρε τῆς ἡσυχίας ἐντρύφημα, χαῖρε τῆς θεολογίας ἀστὴρ ὁ ἀείφωτος.*

Καὶ τὸ τῆς Ἑορτῆς.

Ἀπόλυσις.

2

www.tezaurliturgic.ro



## ΕΙΣ ΤΟΝ ΟΡΘΡΟΝ

Μετὰ τὴν α΄ Στιχολογίαν, Κάθισμα.
Ἦχος δ΄. Ταχὺ Προκατάλαβε.

*Πτηνὸν ὡς ἠδέλαλον τῆς Ἐκκλησίας Χριστοῦ, σοφὲ Ἐπιφάνιε, ἀναδειχθεὶς θαυμαστῶς, ἀσκήσει καὶ χάριτι, Πνεύματος τοῦ Ἁγίου, Ἱεράρχα Κυρίου, ὕμνον Ὀρθοδοξίας ἐμελῴδησας θεῖον, διὸ φαιδρῶς τιμῶμεν τὴν μνήμην σου σήμερον.*

Δόξα. Ὅμοιον.

*Αἰχμάλωτος ἔνδοξε τῶν νομικῶν διδαχῶν, τὸν φόρτον διέρρηξας, διὰ ζυγὸν τοῦ Χριστοῦ, ἀσμένως πανεύφημε, ὅθεν καὶ εἰς τὰ ὕψη τῆς θεώσεως ἤρθης, πᾶσι καταδεικνύων τὴν ὁδὸν τοῦ Κυρίου, ὡς λαμπηδὼν ἀσβέστου φωτὸς Ἐπιφάνιε.*

Καὶ νῦν. Τῆς Ἑορτῆς.

Μετὰ τὴν β΄ Στιχολογίαν, Κάθισμα.
Ἦχος δ΄. Ἐπεφάνη σήμερον.

*Συμπολίτης ὅσιε, τῶν ἀσωμάτων καὶ οἰκεῖος γέγονας τοῦ παντοκράτορος Θεοῦ· ὅθεν βοῶ ταῖς πρεσβείαις σου, μὴ διαλίπῃς μνησθῆναι ἱκέτου σου.*

Δόξα. Ὅμοιον.

*Ὡς βροτὸς ἰσάγγελος, ἐν τῇ ἐρήμῳ καὶ ὡς πρέσβυς ἔνθεος ὑπὲρ ἡμῶν διηνεκής, ἐν οὐρανῷ Ἐπιφάνιε, ἐφάνης πάτερ, ποιμένων ὡράϊσμα.*

www.tezaurliturgic.ro



Καὶ νῦν. Τῆς Ἑορτῆς.
Μετὰ τὸν Πολυέλαιον, Κάθισμα.
Ἦχος πλ. α΄. Τὸν συνάναρχον Λόγον.

**Α**ρμοσάτωσαν λύραν πάντες εὐφρόσυνον, καὶ ὡς ἐρήμου πολίτην σε ἀνυμνήσωσαν, ὅτι ἐν σώματι θνητῷ, τοῦ κοσμοκράτορος, σὺ ἐταπείνωσας ὀφρύν, ἀρωγῇ τῇ τοῦ Χριστοῦ, ὡς ἔμπλεως χαρισμάτων· διὸ πρεσβεύεις παμμάκαρ, ἐλεηθῆναι τὰς ψυχὰς ἡμῶν.

Δόξα. Ὅμοιον.

**Π**αιδιόθεν ἐκλήθης πρὸς θεῖον φώτισμα, καὶ ἐν ἀσκήσει ἠνδρώθης εἰς τόπον ἄοικον, συνοικήσας ξενικῶς, ὦ Ἐπιφάνιε, μετὰ θηρίων τῶν δεινῶν, ὡς Ἀδὰμ ἐν τῇ Ἐδέμ, νεκρώσας τὰ ἔσω πάθη, καὶ νῦν ἀπαύστως πρεσβεύεις, ἁγιασθῆναι τὰς ψυχὰς ἡμῶν.

Καὶ νῦν. Τῆς Ἑορτῆς.

Τὸ α΄ Ἀντίφωνον τοῦ δ΄ ἤχου. Καὶ τὸ Προκείμενον.

**Τ**ίμιος ἐναντίον Κυρίου ὁ θάνατος τοῦ Ὁσίου αὐτοῦ.

Στίχ. Μακάριος ἀνὴρ ὁ φοβούμενος τὸν Κύριον.

Εὐαγγέλιον Ἱεραρχικόν.
Ὁ Ν΄. Δόξα. Ταῖς τοῦ Ἱεράρχου.
Καὶ νῦν. Ταῖς τῆς Θεοτόκου.
Ἰδιόμελον. Ἦχος πλ. β΄.

**Ε**χόμενος τοῦ κανόνος τῆς εὐσεβείας ἀπαρεγκλίτως, θεολέκτοις λογίοις, τὴν ὁμολογίαν τῆς πίστεως καταπεπλούτηκας. Ὅθεν διεσάφησας ἅγιε Ἐπιφάνιε, τῶν ἀπορρήτων μυστηρίων τὴν ἔννοιαν, καὶ τὸ τῆς ψευδοδοξίας γαυρίαμα, ἐταπείνωσας γενναίως. Διὸ μὴ παύσῃ πρεσβεύειν

www.tezaurliturgic.ro



*τῆς αἰωνιζούσης ἡμᾶς ἐξελέσθαι καταδίκης καὶ εὑρεῖν τὴν εἰρήνην καὶ τὸ μέγα ἔλεος.*

Σῶσον ὁ Θεὸς τὸν λαόν σου...

Εἶτα οἱ κανόνες τῆς Ἑορτῆς καὶ τοῦ Ἁγίου, οὗ ἡ ἀκροστιχίς

«Ἐπιφανίου τιμῶ τὸ μνημόσυνον ὕμνοις»

Ὠδὴ α΄. Ἦχος δ΄. Ἀνοίξω τὸ στόμα μου.

Ε*π' ὤμων ἀράμενος, ὡς ἀρχιθέτης πανεύφημος, σταυρὸν τοῦ Κυρίου σου, τὴν τεθλιμμένην ὁδόν, ἀναβέβηκας, ποδὶ ἀγαλλομένῳ, καὶ πνεύματι ζέοντι ὦ Ἐπιφάνιε.*

Π*ατέρων ὁμόσκηνον, καὶ τῶν ἀγγέλων ὁμότιμον, καὶ στῦλον ἀκλόνητον Ὀρθοδοξίας σοφέ, παρεσκεύασεν, ἡ ἐρημός σε πάτερ, διὸ καὶ κατηύγασας βροτῶν τὸ σύστημα.*

Ι*ὸν τὸν τοῦ δράκοντος, ἀποβαλὼν Ἐπιφάνιε, δακρύων τοῖς χεύμασι, καὶ ἀτυφίᾳ σοφέ, ἀνεκαίνισας, τὸν νοῦν καὶ τὴν καρδίαν, καὶ ἤρθης εἰς ἄφατον ὕψος θεώσεως.*

Θεοτοκίον.

Φ*θαρεὶς παναμώμητε, ἐν ἀσωτίαις καὶ πταίσμασι, βορβόρῳ δὲ Πάναγνε, τῶν πονηρῶν λογισμῶν, παραπέπτωκα ἐν λάκκῳ κατωτάτῳ, διὸ ταῖς πρεσβείαις σου, σῶσαί με δέομαι.*

Ὠδὴ γ΄. Τοὺς σοὺς ὑμνολόγους Θεοτόκε.

Α*νέψυξας πάτερ ὁδοιπόρους, ποτὲ ἐν ἐρήμῳ θαυμαστῶς, τῷ ἀντιστρόφῳ θαύματι, τοῦ ἐν Κανᾷ πανεύφημε, τῇ συνεργείᾳ Πνεύματος, πανσθενουργοῦ Ἐπιφάνιε.*

Ν*οσούντων ὑπάρχεις ὁ ἀκέστωρ, καμνόντων ἀνάπαυσις τερπνή, Ἱεραρχῶν τὸ πρότυπον, τῆς Σαλαμῖνος τεῖχισμα, Ὀρθοδοξίας βλάστημα, ἀειθαλὲς Ἐπιφάνιε.*

www.tezaurliturgic.ro



*Ισχὺν ἐνηχῆσαν τῇ ψυχῇ σου, τὸ Πνεῦμα Κυρίου τοῦ Θεοῦ, ἐλλάμψεσι πανόσιε, ἐνεργειῶν καὶ χάριτι, ἡδέως κατεφρόνησας, τὰ χαμερπῆ καὶ χαμαίζηλα.*

Θεοτοκίον.

*Ο τόκος σου Μῆτερ ταῖς εὐχαῖς σου, τὰ δήγματα ὄφεως κακοῦ, ἰᾶσεται πανύμνητε, ὡς νικητὴς τοῦ δράκοντος. Διὸ θερμῶς αἰτούμεθα· γενοῦ ἡμῖν ἡ μεσίτρια.*

Κάθισμα. Ἦχος δ'. Κατεπλάγη Ἰωσήφ.

*Φιλοσόφων τῶν μωρῶν, πάτερ συνέτριψας χορόν, τῇ δυνάμει τοῦ Χριστοῦ, καταδεικνύων τὴν ψευδῆ, καὶ δαιμονώδη καὶ γαῦρον πίστιν εἰδώλων, καὶ αἱρετικῶν κακὴν ὑφήγησιν, δόγμασι σεμνοῖς, πᾶσαν ἀνέτρεψας, καὶ Ὀρθοδόξων τρισμάκαρ ἐκράτυνας, τὰς διδαχὰς καὶ θεσπίσματα, ὡς Ἱεράρχης πεφωτισμένος, καὶ δοχεῖον τῆς χάριτος.*

Δόξα. Ὅμοιον.

*Επιμέλειαν ἠθῶν, καλλιεργήσας σεαυτῷ, ἀνασπάσας τῶν κακῶν, ῥίζαν οἰήσεως σοφέ, ὡς ἀθλητὴς εὐσεβείας πάτερ ἐστέφθης. Σὺ γὰρ πονηρῶν, ἀνεξαρίθμητα, στίφη μανικῶς ἐπιτεθέντα σοι, τοῦ Ἰησοῦ τὴν εὐχὴν περιθέμενος, ὡς πανοπλίαν πανόλβιε, τὸν τούτων δόλον ὡς κεραμέως, σκεύη μάκαρ συνέτριψας.*

Καὶ νῦν. Τῆς Ἑορτῆς.
Ὠδὴ δ'. Ὁ καθήμενος ἐν δόξῃ.

*Υψιπέτης θεολόγος ἐν ἁπλότητι ὅσιε, καὶ δογμάτων μύστης, πάτερ ἀριδήλως ἐπέφανες, τὴν φυσιοῦσαν τρισμάκαρ καὶ δυσάλωτον, τροπωσάμενος, αἱρετιζόντων παράταξιν.*

www.tezaurliturgic.ro



Τῶν σῶν ἄθλων καὶ ἱδρώτων, ἱστορῆσαι οὐ παύομαι, πάντα γὰρ ἐπῆλθες, μάκαρ ἀρετῆς τὰ παλαίσματα, καταφρονήσας Βελίαρ τὰ τεχνάσματα, καὶ τὰ σύνοικα πάθη σαρκὸς πολυΰμνητε.

Τοῦ πειράζοντος τὰ στίφη, ἐν ἐρήμῳ ἐπέδραμε, ὑπομνήσει πάτερ, πάντων τῶν γηΐνων ἑλκῦσαί σε, ἐν τῷ βορβόρῳ καὶ λάκκῳ ματαιότητος, ἀλλ' ἐνίκησας τοὺς δυσμενεῖς Ἐπιφάνιε.

Θεοτοκίον.

Ἰσχυκότες τῷ σῷ τόκῳ, πτερνιστὴν ἐτροπώσαντο, οἱ βροτοὶ γενναίως, καὶ πρὸς τὰς ἀψῖδας ἀνέδραμον, τὰς οὐρανίους Μαρία Μητροπάρθενε, ἡδυνόμενοι, εἰς τὴν ζωὴν τὴν ἀκήρατον.

Ὠδὴ ε'. Ἐξέστη τὰ σύμπαντα.

Μηνύσας τὰ ἄδηλα, τῆς πίστεως θεσπίσματα, ὡς καλλιφεγγὲς τῆς Ἐκκλησίας, ἄστρον θεόφρον, καὶ οὐρανόφωτον, τοὺς φιλοσοφοῦντας γεηρῶς, πάτερ Ἐπιφάνιε, σκιαμάχους ἀπέδειξας.

Ὡς σάλπιγξ θεόσδοτος, λαμπρὸν ἠχοῦσα σήμερον, πάντας προσκαλεῖς πρὸς τὸν Σωτῆρα, ὦ Ἐπιφάνιε, ὥσπερ τῆς Περσίδος ἀρχηγόν, ὅτε τὸ θυγάτριον, τὸ αὐτοῦ ἐθεράπευσας.

Τὸ μέγα ἐξύφανεν, ἱερωσύνης ἔνδυμα, πάτερ σοὶ Χριστὸς ὁ ἀρχιθύτης, καὶ σὲ κατέστησε, τύπον ποιμανσίας ἀληθῆ, θεῖε Ἐπιφάνιε, καὶ δοχεῖον τοῦ Πνεύματος.

Θεοτοκίον.

www.tezaurliturgic.ro



**Ὃν φρίττουσιν ἄβυσσοι, καὶ εὐλαβοῦνται ἄγγελοι, καὶ αἰνεῖ ὁ ἥλιος καὶ ἄστρα, ἔτεκες Μῆτερ, ἀνερμηνεύτως ἁγνή· Οὗτος γὰρ σαρκοῦται θαυμαστῶς, Κόρη δανεισάμενος, τῆς σῆς φύσεως φύραμα.**

Ὠδὴ στ΄. Τὴν θείαν ταύτην καὶ πάντιμον.

**Μαράνας χάριτι θείᾳ, σκιρτήματα σαρκὸς Ἐπιφάνιε, πρὸς τῆς θεώσεως, ὕψος ἀνῆλθες ἀοίδιμε, καὶ τῶν ἀΰλων δήμων, πολίτης γέγονας.**

**Νοσούντων ἔνσαρκε ἄγγελε, κατ' ἄμφω σηπεδόνα ἀνέστειλας, πρὸς τὴν εὐσέβειαν, τούτους γυμνάσας πανεύφημε, καὶ τῶν σωμάτων λύσας, αὐτῶν τὰ τραύματα.**

**Ἡδέως πάτερ ἀπέβαλες, τὸν φόρτον νομικῶν παραινέσεων, καὶ τὸν ἀνόνητον, τύπον παμμάκαρ τοῦ γράμματος, τὸν ἐκνεκροῦντα σώφρον, πνεῦμα τῆς χάριτος.**

Θεοτοκίον.

**Μνησθῆναι Δέσποινα ἄχραντε, πρεσβείαις σου ὀξείαις τοῦ δούλου σου, χειμαζομένου νῦν, ἐν τῷ πελάγει τῶν θλίψεων, καὶ πλατυσμὸν Παρθένε, ταχύ μοι δώρησαι.**

Κοντάκιον. Ἦχος δ΄. Τῇ Ὑπερμάχῳ Στρατηγῷ.

**Ὡς πολυχεύμονα κρουνὸν τῆς θείας χάριτος, καὶ τῶν θαυμάτων τὴν πηγὴν τὴν ἀνεξάντλητον, καὶ συνόμιλον ἀγγέλοις τε καὶ ὁσίοις, καὶ τῆς Κύπρου ἀρχιθύτην τὸν Θεόσοφον, Ἐπιφάνιον τιμήσωμεν ἐν ᾄσμασι, πάντες λέγοντες· Χαίροις πάτερ ἰσάγγελε.**

www.tezaurliturgic.ro



Ὁ Οἶκος.

*Ἄγγελος ἐν ἀσίοις, Ἐπιφάνιε πάτερ, ἐγνώσθης ἐν ἐρήμῳ τὸ πάλαι, καὶ πάσης Σαλαμῖνος ὁ φωστήρ, ἀσφαλῶς αὐγάζων τοὺς πιστοὺς ἅπαντας, τοὺς ψάλλοντάς σοι ἅγιε φωναῖς χαρμονικαῖς τοιαῦτα.*

*Χαῖρε, δι' οὗ ὁ Χριστὸς ἐψώθη·*
*Χαῖρε, δι' οὗ ὁ ἐχθρὸς ἐτρώθη.*
*Χαῖρε, τῶν δογμάτων Χριστοῦ ἡ φανέρωσις·*
*Χαῖρε, κακοδόξων μωρῶν ἡ καθαίρεσις.*
*Χαῖρε, κρίνον τῆς ἁγνότητος καὶ λειμὼν τῆς ἀρετῆς·*
*Χαῖρε, κῆρυξ ὁ ἐπόπτερος βασιλείας τῆς καινῆς.*
*Χαῖρε, ὅτι ἐφάνης Παρακλήτου δοχεῖον·*
*Χαῖρε, ὅτι ἠράσθης Μοναζόντων τὸν βίον.*
*Χαῖρε, βροτῶν τὸ θεῖον ἐντρύφημα·*
*Χαῖρε, σοφῶν τὸ ἔνδοξον καύχημα.*
*Χαῖρε, δι' οὗ θαυμαστοῦται ὁ κτίστης·*
*Χαῖρε, δι' οὗ φυτουργεῖται ἡ πίστις·*
*Χαίροις, πάτερ ἰσάγγελε.*

Συναξάριον.

Τῇ ιβ´ τοῦ αὐτοῦ μηνὸς μνήμη τοῦ ἐν ἁγίοις πατρὸς ἡμῶν Ἐπιφανίου ἐπισκόπου Σαλαμῖνος Κύπρου.

Ἐπιφάνιε πάτερ τῇ σῇ ἀσκήσει
τὸν ἐχθρὸν κατῄσχυνας τὸν παλαμναῖον.

Οὗτος ὁ μέγας καὶ θαυμαστὸς Ἐπιφάνιος χώρας γέγονε Φοινίκης, ἐκ περιοικίδος Ἐλευθεροπόλεως γονέων αὐτουργῶν. Τραφεὶς δὲ ἐν οἰκίᾳ μικρᾷ, καὶ οἵαν ἔχοιεν πένητες ἄνθρωποι καὶ γηπόνοι, αὐτὸς τῇ κατὰ Θεὸν διέλαμψεν ἀρετῇ, καὶ εἰς τἀκρότατον ὕψος τῆς κατ' εὐσέβειαν προήχθη πολιτείας. Τῶν γὰρ γονέων αὐτοῦ τῇ τοῦ Νόμου ἐναπομεινάντων λατρείᾳ καὶ σκιᾷ, καὶ μὴ δυνηθέντων ἰδεῖν τὸ φῶς τῆς χάριτος, αὐτὸς πρὸς τὴν ἐν Χριστῷ ἀλήθειαν ἔδραμε, μικρᾶς δραξάμενος ἀφορμῆς.

Κλεοβίου γάρ τινος ἰασαμένου αὐτοῦ τὴν πληγήν, ἣν ὑπέστη

www.tezaurliturgic.ro



κατὰ τοῦ μηροῦ, ἀτάκτως πεσόντος ἀπὸ τοῦ ὑποζυγίου, οὗ ἐπωχεῖτο κατασκιρτήσαντος, καὶ αὐτοῦ δὴ τοῦ ὑποζυγίου θανατωθέντος, τότε μὲν ἀμφίδοξον ἐν διαλογισμοῖς ἔσχε τὴν γνώμην, καὶ τὸ λοιπὸν οὐ πάνυ τῇ τοῦ Νόμου προσεῖχε δουλείᾳ. Ὕστερον δέ, Λουκιανῷ τινι μονάζοντι ἐντυχών, εἶδεν αὐτὸν πένητι ἐντυγχάνοντα, ζητοῦντι αὐτῷ βρῶσιν φαγεῖν· ὁ δὲ καὶ τριβώνιον ἐπέδωκε· καὶ αὐτίκα ἄνωθεν ἐκείνῳ στολὴ τῷ Λουκιανῷ ἀνεδίδοτο· καὶ ταῦτα θεασάμενος Ἐπιφάνιος, τῇ τῶν Χριστιανῶν πίστει προσέρχεται, καὶ τὸ ἅγιον Βάπτισμα παρὰ τοῦ Ἐπισκόπου δέχεται.

Τὰ δὲ ἐντεῦθεν δυσέφικτον ἐν ἐπιτόμῳ πάντα περιλαβεῖν τὰ θαυμάσια, ἃ εἰργάσατο. Τοσοῦτον δὲ εἰπεῖν μόνον ἐστὶν ἀναγκαῖον ὅτι κομιδῇ νέος τῇ ἡλικίᾳ τὴν κατὰ Χριστὸν πίστιν ὑποδεξάμενος, εὐθὺς μονάσας ὁσίως· πάντας τοὺς κατ᾿ αὐτὸν ὑπερήλασεν ἐγκρατείᾳ καὶ πόνοις ἀσκητικοῖς· καὶ εἰς τὸ τέλειον τῆς ἀρχιερωσύνης γενόμενος, κατάλληλον ἔσχε τὴν πρᾶξιν τοῖς προβεβιωμένοις. Ἐν μὲν γὰρ τοῖς παρελθοῦσιν, ἀσκητικὴν διαγωγήν, καὶ πλήθη θαυμάτων, καὶ θεραπείαν πολλῶν ἀσθενούντων εἰργάσατο. Ἐν δὲ τοῖς μετὰ τὴν ἱερωσύνην, αὐτά τε ταῦτα, καὶ διδασκαλίαν ὀρθὴν καὶ συγγραμμάτων πλῆθος, δι᾿ ὧν πάντας ἐπαίδευσεν· ὑπὲρ οὗ πολλοὺς ἐξεῦρε τοὺς πειρασμοὺς παρὰ τῶν κακοδόξων. Ζήσας δὲ ἔτη δεκαπέντε πρὸς τοῖς ἑκατόν, ἐπὶ μησὶ τρισίν, ὡς αὐτὸς Ἀρκαδίῳ τῷ βασιλεῖ ἐρωτήσαντι ἀπεκρίνατο, τῷ Κυρίῳ τὸ πνεῦμα παρέθετο· οὐκ ἐν τῷ οἰκείῳ δὲ θρόνῳ, κατὰ τὴν τοῦ Χρυσοστόμου αἴτησιν, ἐπεὶ τῇ κατ᾿ ἐκείνου ἐξορίᾳ συνήνεσε. Τὸν δὲ φασὶν ἀντιγράψαι· μηδὲ αὐτὸν τὸν τόπον, πρὸς ὃν ἀπέσταλτο ὑπερόριος, φθάσαι κατιδεῖν. Τελεῖται δὲ ἡ αὐτοῦ σύναξις ἐν τῷ ἁγιωτάτῳ αὐτοῦ οἴκῳ, τῷ ὄντι ἔνδον τοῦ Ἁγίου Φιλήμονος.

Ταῖς τῶν σῶν ἁγίων πρεσβείαις, Χριστὲ ὁ Θεός...

Ὠδὴ ζ΄. Οὐκ ἐλάτρευσαν τῇ κτίσει.

***Ο** τῷ τρίβωνι, πτωχῷ περιβαλλόμενος, πρὸς τὸ οὐράνιον, πάλαι καθείλκυσε φῶς, τὴν σὴν θεοκίνητον, πάτερ προαίρεσιν, καὶ πρὸς μείζονα, συναπεδέθης σκάμματα, μοναχοῖς τε καὶ ὁσίοις.*

www.tezaurliturgic.ro



*Συρφετώδη τε καὶ ἀγοραῖον ἄγιε, καὶ καταγέλαστον, αἱρετιζόντων χορόν, ἐσκέδασας λόγοις σου, ἐκ τοῦ ποιμνίου σου, Ἐπιφάνιε, Ἱεραρχῶν τὸ καύχημα, καὶ τῆς Κύπρου ὁ προστάτης.*

*Ὑπὲρ ἔννοιαν, σημεῖα τε καὶ θαύματα, πάτερ ἐτέλεσας, τῇ συνεργείᾳ Χριστοῦ, νεκροὺς ἐξανέστησας, δαίμονας ἤλασας, καὶ ἀνέστειλας, κακοδοξούντων κύματα, ὡς λιμὴν Ὀρθοδοξίας.*

Θεοτοκίον.

*Νυνὶ Δέσποινα, σὸν αἶνον χαριστήριον, ἀναβοῶμέν σοι, καὶ ἱκεσίας φωνήν, καλῶς διαφύλαττε, πάντας τοὺς ψάλλοντας, Χαῖρε πάναγνε, τῶν προφητῶν τὸ κήρυγμα, καὶ παρθένων ἡ λαμπρότης.*

Ὠδὴ η΄. Παῖδας εὐαγεῖς.

*Ὅρμος γαληνὸς τῶν εὐσεβούντων, ἀλείπτης τῆς ἀρετῆς θαυμασιώτατος, ὄργανον κρουόμενον, τῷ Ἁγίῳ Πνεύματι, τῆς Σαλαμῖνος τείχισμα, Παρθένων ἔπαινος, βροτῶν ὁ κηδεμὼν καὶ προστάτης, μάκαρ ἀνεδείχθης τῇ χάριτι Κυρίου.*

*Νόμου ἀτελοῦς τε καὶ σκιώδους, τὰς πέδας τὰς σιδηρᾶς πάσας διέσπασας, πάτερ ἐλαυνόμενος, πρὸς τὸ φῶς τὸ ἄδυτον, καὶ ἐμπλησθεὶς πανόσιε, ἀσμένως ἔψαλλες. Τὸν Κύριον ὑμνεῖτε τὰ ἔργα καὶ ὑπερυψοῦτε εἰς πάντας τοὺς αἰῶνας.*

*Ὕμνοις καὶ φωναῖς ἀναμφιλέκτοις, τὴν πίστιν τῶν Ὀρθοδόξων διετράνωσας, καὶ τὰ μαγγανεύματα, τοῦ ἀρχαίου ὄφεως, ὡς θεολόγος ἔλυσας, σοφίας ἔμψυχον, κειμήλιον καὶ ἄγαλμα σῶφρον, καὶ τῆς ἀληθείας ὁπλίτης θεοφόρος.*

www.tezaurliturgic.ro



Θεοτοκίον.

*Μήτηρ καὶ παρθένων ἡ ἀκρότης, θυσία προσενεχθεῖσα τῷ ἀσπόρῳ σου, τόκῳ παντευλόγητε, ἀνεδείχθης Δέσποινα· διὸ τὴν φύσιν ἤγειρας, βροτῶν πανάμωμε, τὴν πρόπαλαι πεσοῦσαν εἰς λάκκον, τῆς παραφροσύνης ἀμόλυντε Μαρία.*

Ὠδὴ θ΄. Ἅπας γηγενής.

*Νῦν οἱ γηγενεῖς, σκιρτῶντες τῷ πνεύματι, πανηγυρίζομεν, τὴν σὴν μνήμην ὅσιε, ἐν ἀσιγήτοις ψαλμοῖς φωνοῦντές σοι, χαῖρε τῆς Κύπρου καύχημα ὦ Ἐπιφάνιε, καὶ ποιμένων, χαῖρε πανаοίδιμε ὁ κανὼν καὶ ὁ τύπος ὁ ἄριστος.*

*Ὅτε τὴν φρικτήν, θυσίαν προσῆγες σὺ πρὸς τὸν Φιλάνθρωπον, τότε καὶ τὰ τάγματα, τῶν ἀσωμάτων συνεπορεύοντά σοι, ἐν τῇ Λατρείᾳ ὅσιε, ὡς συνδιάκονοι, ἀνεβόων Ἅγιος εἶ Κύριε, ὁ ποιῶν ἐν ἁγίοις σου θαύματα.*

*Ἴδωμεν πιστοί, ὡς δένδρον κατάκαρπον, τὸν Ἐπιφάνιον, φοίνικα εὐφίκομον, τὸν τῆς πρεσβείας καρποὺς παράγοντα, καὶ πρὸς αὐτὸν προσβλέψωμεν καὶ πάντες κράξωμεν ταῖς λιταῖς σου, πάτερ περιφρούρησον, τοὺς ὑμνοῦντάς σε νῦν ἀξιάγαστε.*

Θεοτοκίον.

*Σύμπασα σεμνή, πιστῶν ἡ ὁμήγυρις ὑμνολογοῦμέν σε· Χαῖρε ἀλεξίκακον, τῶν ἀλγηδόνων ψυχῆς καὶ σώματος. Χαῖρε ναὸς ὁ ἔμψυχος, τοῦ Παντοκράτορος, Θεοτόκε, Χαῖρε τῶν ἐν θλίψεσιν, ὁ λιμὴν τῆς χαρᾶς ὁ ἀκύμαντος.*

Ἐξαποστειλάριον. Ὁ οὐρανὸν τοῖς ἄστροις.

www.tezaurliturgic.ro



*Τὰς δωρεὰς τῆς ἀγάπης, ὡς πολυχεύμων ποταμός, καὶ ἀνεπίσχετον ῥεῦμα, πάτερ ἀνάβλυσον κἀμοί, καὶ φλογομόρφους κακίας, κατάσβεσον ταῖς λιταῖς σου.*

Ὅμοιον.

*Ἀναγωγὸς ἀληθείας, καὶ ποιμανσίας ὁ κανών, καὶ ἱλαρόφωτος λύχνος, πᾶσαν σκεδάζων τὴν ἀχλύν, κακοδοξούντων ἐφάνης, ὦ Ἐπιφάνιε μάκαρ.*

Τῆς Ἑορτῆς.
Εἰς τοὺς Αἴνους.
Ἦχος δ΄. Ὅτε ἐκ τοῦ ξύλου σε.

*Πάτερ Ἐπιφάνιε σοφέ, τοὺς περιτραπέντας εἰς σκότη, κακοδοξίας ποτέ, ὡς ποιμὴν ἀνέσυρας, ταῖς ὀρθοδόξοις σου, ὑποθήκαις πανάριστε, καὶ ἔργοις ἐνθέοις, σὺ γὰρ αἰσθητήρια τὰ τῆς ψυχῆς σου καλῶς, πάντα πρὸς ἀλήθειαν ἔχων, ἐκγεγυμνασμένα θεόφρον, διὸ καὶ κατῄσχυνας τὸν δράκοντα.*

*Δεῦτε τῶν ὁσίων ὁ χορός, καὶ τῶν ἀσωμάτων ὁ δῆμος, ἱεραρχῶν δὲ ὁμοῦ, σύλλογος ὁ πάντιμος, καὶ τῶν βροτῶν ἡ πληθύς, τὸν σοφὸν Ἐπιφάνιον, τιμήσωμεν πάντες, ὕμνοις τε καὶ ᾄσμασιν ἐπὶ τῇ μνήμῃ αὐτοῦ, Πάτερ Θεοφόρε βοῶντες, μὴ παρίδῃς πρέσβυς γενέσθαι, ὑπὲρ τῶν ἐν πίστει δοξαζόντων σε.*

*Ἔχων τῆς καρδίας ὀφθαλμούς, σὺ πεφωτισμένους τρισμάκαρ, τῶν μυστηρίων Χριστοῦ, θέτης πάλαι γέγονας, καὶ οἰκονόμος πιστός, καὶ τὸν πλοῦτον τῆς χάριτος, διένειμας μάκαρ, εἰς τὸν ἀπορούμενον πιστὸν λαὸν ἀφειδῶς, πᾶσαν τὴν σκοτόμαιναν πάτερ, τῶν αἱρετικῶν διαλύων, καὶ σκεδάζων τούτων τὰ φρυάγματα.*

www.tezaurliturgic.ro



*Στέψει ἀνθοπλόκῳ οἱ πιστοί, ὑμνολογιῶν καὶ ἐπαίνων, τὸν Ἱεράρχην Χριστοῦ, δεῦτε καταστέψωμεν, ἐν εὐλαβείᾳ πολλῇ· ὥσπερ φέγγος ἀνέσπερον, φαιδρῦνον τὸν βίον, ὤφθης καὶ λυσίπονον ἀσθενειῶν χαλεπῶν· ὅθεν καὶ νυνὶ προσεδρεύεις τῷ Κυρίῳ χεῖρας ἐκτείνων, ὑπὲρ τῶν ἐν πίστει γεραιρόντων σε.*

Δόξα. Ἦχος πλ. α'.

*Σαλπίσωμεν ἐν σάλπιγγι ᾀσμάτων, χορεύσωμεν τῷ πνεύματι, καὶ ἐν ὕμνοις πανηγυρίσωμεν ἐπὶ τῇ θείᾳ μνήμῃ τοῦ Ἱεράρχου Χριστοῦ. Οἱ βροτοὶ καὶ ἄγγελοι συντρεχέτωσαν, καὶ τῆς Ἐκκλησίας τὸν πρόβολον τὸν θεῖον, τῶν δεινῶν αἱρέσεων ἀποκρούσαντα τὰ κύματα, τῇ δυνάμει τοῦ Κυρίου, ἀνυμνείτωσαν. Τὰ πλήθη τὰ φιλέορτα, τὸν μέγαν ποιμενάρχην τῆς Κύπρου γηθοσύνως, συνδραμόντα εὐφημήσωμεν. Τῆς ἐρήμου τὸν θησαυρόν, τῶν Μοναζόντων τὸ κλέος, τὴν τῶν ἀρετῶν λαμπηδόνα, τὸν ἔλεγχον τῶν ἀσεβῶν, τὸ ἀείρροον τῶν χαρίτων ῥεῦμα, τῶν πενομένων τὴν θείαν σκέπην, τῶν ἀλγηδόνων ταχεῖαν λύσιν, ἱερωσύνης λαμπρὸν δοχεῖον, ἁπάντων τῶν Ὀρθοδόξων τὴν προστασίαν, ἔνδοξον θεολόγον, ἐγκωμιάζοντες οὕτως εἴπωμεν· Ἐπιφάνιε θεόφρον, ῥῦσαι καὶ ἡμᾶς, θείαις λιταῖς σου, ἐκ τῶν δεινῶν καὶ τῶν στόνων, καὶ πάσης ἀνάγκης τε καὶ περιστάσεως.*

Καὶ νῦν. Τῆς Ἑορτῆς.
Δοξολογία μεγάλη καὶ Ἀπόλυσις.

www.tezaurliturgic.ro



## *ΕΙΣ ΤΗΝ ΛΕΙΤΟΥΡΓΙΑΝ*

Τὰ συνήθη. Ἀπόστολον καὶ Εὐαγγέλιον ζήτει τοῦ Ἁγίου. Κοινωνικόν· Εἰς μνημόσυνον αἰώνιον ἔσται δίκαιος.

Μεγαλυνάριον.

***Χ**αίροις τῆς Ἐρήμου ἄνθος λαμπρόν, καὶ τῆς Σαλαμῖνος ἐγκαλλώπισμα ἱερόν, χαίροις Ἐκκλησίας προπύργιον τὸ μέγα, ὁσίων ἡ ἀκρότης ὦ Ἐπιφάνιε.*

ΒΙΒΛΙΟΘΗΚΗ ΤΗΣ ΕΛΛΑΔΟΣ ΔΗΜΟΣΙΑ